# Adhortatio de silentio et quiete

## Παραίνεσις περὶ ἡσυχίας

Κτῆσαι δὲ τὴν ἡσυχίαν ὥσπερ τεῖχος ὀχυρόν· ἡ γὰρ ἡσυχία ὑψηλότερόν σε ποιεῖ τῶν παθῶν· σὺ γὰρ ἄνωθεν πολεμεῖς, αὐτὰ δὲ κάτωθεν. Κτῆσαι οὖν τὴν ἡσυχίαν τὴν ἐν φόβῳ Θεοῦ, καὶ οὐ μή σε βλάψῃ πάντα τὰ βέλη τοῦ Ἐχθροῦ· ἡσυχία γὰρ φόβῳ Θεοῦ συνεζευγμένη ἅρμα πύριόν ἐστιν, ἀνάγουσα εἰς οὐρανοὺς τὸν κεκτημένον αὐτήν. Καὶ πειθέτω σε Ἠλίας ὁ προφήτης, ἀγαπήσας τὴν ἡσυχίαν καὶ τὸν φόβον τοῦ Θεοῦ, καὶ ἀναληφθεὶς εἰς τὸν οὐρανόν. Ὦ ἡσυχία, προκοπὴ μοναζόντων. Ὦ ἡσυχία, κλῖμαξ οὐράνιος. Ὦ ἡσυχία, ὁδὸς βασιλείας οὐρανῶν. Ὦ ἡσυχία, ἔσοπτρον ἁμαρτημάτων, ἡ δεικνύουσα τὰ 43 πλημμελήματα αὐτοῦ τῷ ἀνθρώπῳ. Ὦ ἡσυχία, δάκρυον μὴ ἐμποδίζουσα. Ὦ ἡσυχία, πρᾳότητος γεννήτρια. Ὦ ἡσυχία, ταπεινοφροσύνης σύσκηνε. Ὦ ἡσυχία, ἡ εἰς εἰρηνικὴν κατάστασιν φέρουσα τὸν ἄνθρωπον. Ὦ ἡσυχία, ἡ φόβῳ Θεοῦ συνεζευγμένη. Ὦ ἡσυχία, διανοίας φωταγωγέ. Ὦ ἡσυχία, λογισμῶν κατάσκοπε. Ὦἡσυχία, διακρίσεως σύμπονε. Ὦ ἡσυχία, γεννήτρια παντὸς ἀγαθοῦ. Ὦ ἡσυχία, νηστείας ἑδραίωμα. Ὦ ἡσυχία, γαστριμαργίας ἐμπόδιον. Ὦ ἡσυχία, σχολὴ προσευχῆς καὶ ἀναγνώσεως. Ὦ ἡσυχία, γαλήνη λογισμῶν. Ὦ ἡσυχία, λιμὴν εὔδιος. Ὦ ἡσυχία, ἀμεριμνία ψυχῆς. Ὦ ἡσυχία, εὐφροσύνη ψυχῆς καὶ καρδίας. Ὦἡσυχία, περπερότητος ἀναίρεσις. Ὦ ἡσυχία, ἀναιδείας ἔχθρα. Ὦ ἡσυχία, εὐλαβείας μήτηρ. Ὦ ἡσυχία, παθῶν δεσμωτήριον. Ὦ ἡσυχία, πάσης ἀρετῆς συνεργός. Ὦ ἡσυχία, ἀκτημοσύνης πρόξενος. Ὦ ἡσυχία, ζυγὸς χρηστὸς καὶ φορτίον ἐλαφρόν, ἀναπαύουσα καὶ βαστάζουσα τὸν βαστάζοντά σε. Ὦ ἡσυχία, χωρίον Χριστοῦ καρποφοροῦν καρποὺς ἀγαθούς. Ὦ ἡσυχία, φόβῳ Θεοῦ συνεζευγμένη· τεῖχος καὶ ὀχύρωμα τῶν βουλομένων ἀγωνίσασθαι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ναί, ἀδελφέ· ταύτην κτῆσαι τὴν καλὴν μερίδα, ἣν Μαρία ἐξελέξατο· ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. 44 Βλέπεις, ἀδελφέ, οἵα ἐστὶν ἡ ἡσυχία; Ὅτι αὐτὸς ὁ Κύριος ἐπαινεῖ τὸν κτώμενον αὐτήν. Ταύτην κτῆσαι, ἀγαπητέ μου ἀδελφέ, καὶ κατατρύφησον τοῦ Κυρίου σου, παρακαθεζόμενος τοῖς ποσὶν αὐτοῦ καὶ αὐτῷ μόνῳ προσκολλώμενος, ἵνα λέγῃς καὶ σὺ μετὰ παρρησίας· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Διὰ τοῦτο ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. Ναί, ἀδελφέ μου, ταύτην κτῆσαι τὴν μέλιτος γλυκυτέραν. Κρείσσων γὰρ ψωμὸς ἐν ἅλατι μετὰ ἡσυχίας καὶ ἀμεριμνίας, ἢ παράθεσις ἐδεσμάτων πολυτελῶν ἐν περισπασμοῖς καὶ μερίμναις. Ἄκουε τοῦ λέγοντος· δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἀναπαῦσαί σε γὰρ θέλει ὁ Κύριος ἀπὸ μεριμνῶν, ἀπὸ θυμοῦ, ἀπὸ περισπασμῶν καὶ θλίψεων τοῦ αἰῶνος τούτου. Ἀμέριμνόν σε θέλει εἶναι ἀπὸ τῆς πλινθουργίας τῆς Αἰγύπτου· ἀγαγεῖν σε θέλει εἰς τὴν ἔρημον, τουτέστιν εἰς τὴν ἡσυχίαν, ὅπως φωτίσῃ τὰς ὁδούς σου τῷ στύλῳ τῆς νεφέλης, ὅπως ψωμίσῃ σε τὸ μάννα, λέγω δὴ τὸν ἄρτον τῆς ἡσυχίας καὶ ἀμεριμνίας, ὅπως κληρονομήσῃς τὴν γῆν τῆς ἐπαγγελίας. Ναί, ἀγα 45 πητέ, ταύτην κτῆσαι, ταύτην ἀγάπησον, ὅπως τερφθῇς ἐν τῇ ὁδῷ τῶν μαρτυρίων τοῦ Θεοῦ, ὡς ἐπὶ παντὶ πλούτῳ. Ναί, ἀδελφέ, κτῆσαι τὴν ἡσυχίαν μετὰ τοῦ φόβου τοῦ Θεοῦ, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μετὰ σοῦ. Ὦ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Παρακαλῶ οὖν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, σπουδάζειν ἡμᾶς καθ' ἑκάστην ἡμέραν τὴν τούτων μνείαν ποιεῖσθαι, λέγω δὴ τῆς πίστεως, τῆς ἀγάπης, τῆς ταπεινώσεως, τοῦ σφραγίζεσθαι πάντοτε ταῖς εὐχαῖς [τοῦ Θεοῦ], πάντοτε ταῖς μελέταις τῶν θείων Γραφῶν, τῇ ἡσυχίᾳ. Ταῦτα γὰρ ἡμῖν παρόντα καὶ πλεονάζοντα οὐκ ἀργούς, οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. Μοναχὸς γάρ, ὃς οὐ κέκτηται ταῦτα, ἀλλ' ἀμελεῖ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἑαυτοῦ σωτηρίας, τυφλός ἐστι μυωπάζων, λήθην λαβὼν τῶν πάλαι αὐτοῦ ἁμαρτημάτων, καὶ συμβέβηκεν αὐτῷ τὸ τῆς ἀληθοῦς παροιμίας· κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου. Τοῖς μὲν γὰρ ἀποφυγοῦσι τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακεῖσι, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. 46 Κρεῖσσον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπεγνωκόσιν εἰς τὰ ὀπίσω πάλιν ἀνακάμψαι. Οὐκοῦν, ἀγαπητοὶ καὶ πιστοὶ δοῦλοι καὶ ἐκλεκτοὶ στρατιῶται Χριστοῦ μοναχοί, ἀναλάβωμεν τὴν πανοπλίαν τῶν εἰρημένων ἐν τῇ καρδίᾳ ἡμῶν, καθ' ἑκάστην ἀνυπερθέτως μνείαν αὐτῶν ποιούμενοι, ὅπως δυνηθῶμεν ἀγωνίσασθαι τὸν καλὸν ἀγῶνα, καὶ καταπατῆσαι πᾶσαν τὴν δύναμιν τοῦ Ἐχθροῦ, ἵνα ῥυσθῶμεν ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, καὶ εὕρωμεν ἔλεος καὶ χάριν ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ ἐνώπιον τοῦ δικαίου Κριτοῦ τοῦ ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.